[8]καὶ πᾶσα ἡ πανοικία Ιωσηφ καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ πᾶσα ἡ 8
οἰκία ἡ πατρικὴ αὐτοῦ, καὶ τὴν συγγένειαν καὶ τὰ πρόβατα καὶ
τοὺς βόας ὑπελίποντο ἐν γῇ Γεσεμ. [9]καὶ συνανέβησαν μετ᾽ αὐτοῦ 9
καὶ ἅρματα καὶ ἱππεῖς, καὶ ἐγένετο ἡ παρεμβολὴ μεγάλη σφόδρα.
[10]καὶ παρεγένοντο ἐφ᾽ ἅλωνα Αταδ, ὅ ἐστιν πέραν τοῦ Ιορδάνου, 10
καὶ ἐκόψαντο αὐτὸν κοπετὸν μέγαν καὶ ἰσχυρὸν σφόδρα· καὶ ἐποί-
ησεν τὸ πένθος τῷ πατρὶ αὐτοῦ ἑπτὰ ἡμέρας. [11]καὶ εἶδον οἱ κάτοι- 11
κοι τῆς γῆς Χανααν τὸ πένθος ἐν ἅλωνι Αταδ καὶ εἶπαν Πένθος
μέγα τοῦτό ἐστιν τοῖς Αἰγυπτίοις· διὰ τοῦτο ἐκάλεσεν τὸ ὄνομα
αὐτοῦ Πένθος Αἰγύπτου, ὅ ἐστιν πέραν τοῦ Ιορδάνου. [12]καὶ ἐποί- 12
ησαν αὐτῷ οὕτως οἱ υἱοὶ αὐτοῦ καὶ ἔθαψαν αὐτὸν ἐκεῖ. [13]καὶ ἀνέ- 13
λαβον αὐτὸν οἱ υἱοὶ αὐτοῦ εἰς γῆν Χανααν καὶ ἔθαψαν αὐτὸν εἰς
τὸ σπήλαιον τὸ διπλοῦν, ὃ ἐκτήσατο Αβρααμ τὸ σπήλαιον ἐν κτή-
σει μνημείου παρὰ Εφρων τοῦ Χετταίου κατέναντι Μαμβρη. [14]καὶ 14
ἀπέστρεψεν Ιωσηφ εἰς Αἴγυπτον, αὐτὸς καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ
οἱ συναναβάντες θάψαι τὸν πατέρα αὐτοῦ.

[15]Ἰδόντες δὲ οἱ ἀδελφοὶ Ιωσηφ ὅτι τέθνηκεν ὁ πατὴρ αὐτῶν, 15
εἶπαν Μήποτε μνησικακήσῃ ἡμῖν Ιωσηφ καὶ ἀνταπόδομα ἀντα-
ποδῷ ἡμῖν πάντα τὰ κακά, ἃ ἐνεδειξάμεθα αὐτῷ. [16]καὶ παρεγένον- 16
το πρὸς Ιωσηφ λέγοντες Ὁ πατήρ σου ὥρκισεν πρὸ τοῦ τελευ-
τῆσαι αὐτὸν λέγων [17]Οὕτως εἴπατε Ιωσηφ Ἄφες αὐτοῖς τὴν 17
ἀδικίαν καὶ τὴν ἁμαρτίαν αὐτῶν, ὅτι πονηρά σοι ἐνεδείξαντο·
καὶ νῦν δέξαι τὴν ἀδικίαν τῶν θεραπόντων τοῦ θεοῦ τοῦ πατρός
σου. καὶ ἔκλαυσεν Ιωσηφ λαλούντων αὐτῶν πρὸς αὐτόν. [18]καὶ 18
ἐλθόντες πρὸς αὐτὸν εἶπαν Οἵδε ἡμεῖς σοι οἰκέται. [19]καὶ εἶπεν 19
αὐτοῖς Ιωσηφ Μὴ φοβεῖσθε· τοῦ γὰρ θεοῦ εἰμι ἐγώ. [20]ὑμεῖς 20
ἐβουλεύσασθε κατ᾽ ἐμοῦ εἰς πονηρά, ὁ δὲ θεὸς ἐβουλεύσατο περὶ
ἐμοῦ εἰς ἀγαθά, ὅπως ἂν γενηθῇ ὡς σήμερον, ἵνα διατραφῇ λαὸς
πολύς. [21]καὶ εἶπεν αὐτοῖς Μὴ φοβεῖσθε· ἐγὼ διαθρέψω ὑμᾶς καὶ 21
τὰς οἰκίας ὑμῶν. καὶ παρεκάλεσεν αὐτοὺς καὶ ἐλάλησεν αὐτῶν
εἰς τὴν καρδίαν.

[22]Καὶ κατῴκησεν Ιωσηφ ἐν Αἰγύπτῳ, αὐτὸς καὶ οἱ ἀδελφοὶ αὐ- 22
τοῦ καὶ πᾶσα ἡ πανοικία τοῦ πατρὸς αὐτοῦ. καὶ ἔζησεν Ιωσηφ
ἔτη ἑκατὸν δέκα. [23]καὶ εἶδεν Ιωσηφ Εφραιμ παιδία ἕως τρίτης 23
γενεᾶς, καὶ υἱοὶ Μαχιρ τοῦ υἱοῦ Μανασση ἐτέχθησαν ἐπὶ μηρῶν

8 την συγγ.] η συγγενια αυτου B || 10 παρεγενετο A | εφ] εις B† | εποιησαν B || 11 τουτο εστιν] tr. A | αυτου] του τοπου εκεινου A || 12 αυτου] ισραηλ A | και εθ. αυτον εκει] καθως ενετειλατο αυτοις A || 13 αυτον $1^0$] + εκει B*† || 14 επεστρεψεν A | συναναβ.] + παντες A || 16 παρεγενοντο ... λεγοντες] παραγενομενοι ... ειπαν A || 17 και την αμαρτ. > A || 18 σοι > B† || 19 ιωσηφ > A† | ειμι εγω] tr. B† || 20 διατραφη] δια > B || 21 και ειπεν] ειπεν δε B†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/137 UNIVERSITÄT LEIPZIG